ΙΩΝ. αἰαῖ· πέφυκα δυσγενής, μῆτερ, πόθεν;
ΚΡ. ἴστω Γοργοφόνα, ΙΩΝ. τί τοῦτ' ἔλεξας;
ΚΡ. ἃ σκοπέλοις ἐπ' ἐμοῖς
τὸν ἐλαιοφυῆ πάγον θάσσει.
ΙΩΝ. . . λέγεις μοι δόλια κοὐ σαφῆ τάδε.
ΚΡ. παρ' ἀηδόνιον πέτραν Φοίβῳ
ΙΩΝ. τί Φοῖβον αὐδᾷς;
ΚΡ. κρυπτόμενον λέχος ηὐνάσθην.
ΙΩΝ. λέγ' · ὡς ἐρεῖς τι κεδνὸν εὐτυχές τέ μοι.
ΚΡ. δεκάτῳ δέ σε μηνὸς ἐν
κύκλῳ κρύφιον ὠδῖν' ἔτεκον Φοίβῳ.
ΙΩΝ. ὦ φίλτατ' εἰποῦσ', εἰ λέγεις ἐτήτυμα.
ΚΡ. παρθένια δ' ἐμᾶς ματέρος
σπάργαν' ἀμφίβολά σοι τάδ' ἐνῆψα, κερ-
κίδος ἐμᾶς πλάνους.
γάλακτι δ' οὐκ ἐπέσχον, οὐδὲ μαστῷ
τροφεῖα ματρὸς οὐδὲ λουτρὰ χειροῖν,
ἀνὰ δ' ἄντρον ἔρημον οἰωνῶν
γαμφηλαῖς φόνευμα θοίναμά τ' εἰς
Ἅιδαν ἐκβάλλει.
ΙΩΝ. ὦ δεινὰ τλᾶσα μῆτερ.
ΚΡ. ἐν φόβῳ καταδεθεῖσα σὰν
ψυχὰν ἀπέβαλον, τέκνον·
ἔκτεινά σ' ἄκουσ'.
ΙΩΝ. ἐξ ἐμοῦ τ' οὐχ ὅσι' ἔθνησκες.
ΚΡ. ἰώ· δειναὶ μὲν αἱ τότε τύχαι,
δεινὰ δὲ καὶ τάδ' · ἑλισσόμεσθ' ἐκεῖθεν
ἐνθάδε δυστυχίαισιν
εὐτυχίαις τε πάλιν,
μεθίσταται δὲ πνεύματα.
μενέτω· τὰ πάροιθεν ἅλις κακά· νῦν δ'
ἐγένετό τις οὖρος ἐκ κακῶν, ὦ παῖ.
ΧΟ. μηδεὶς δοκείτω μηδὲν ἀνθρώπῳ ποτὲ

---

1493. *χειροῖν*] Heathius, *χεροῖν* libri. 1502. *αἱ*] addidit Matthiae. 1503. *δεινά*] Fixius, *δειλία* libri. 1510. *ἀνθρώπῳ*] Badhamus, *ἀνθρώπων* libri.